*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

*************************************************************************


Δρος Χαραλάμπους Μ. Μπούσια

Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας


# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

# Χ Ρ Ι Σ Τ Ο Φ Ο Ρ Ο Ν

# ΤΟΝ ΠΑΠΟΥΛΑΚΟΝ

*

*

*   *   *   *   *

*

*


Ἀθῆναι 2009

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

# Χ Ρ Ι Σ Τ Ο Φ Ο Ρ Ο Ν

# ΤΟΝ ΠΑΠΟΥΛΑΚΟΝ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΙΗ΄ Ἰανουαρίου.**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

**********************************

**********************

**Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον , μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς·**

**Ἦχος δ΄ . Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τῶν Ἀποστόλων μιμητὴν εὐφημοῦντες
ὡς εὐσεβείας χριστοκήρυκα ὕμνοις,
Χριστοῦ ἀκαινοτόμητον τὴν πίστιν λαῷ
ἐν σκιᾷ καθεύδοντι ζοφερᾷ ἀγνωσίας
ἀκλινῶς κηρύξαντα, Χριστοφόρον τὸν θεῖον,
ἀναβοῶμεν· Στήριζε ἀεὶ
Ὀρθοδοξίαν εὐχαῖς σου πρὸς Κύριον.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα
τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Εἶτα ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ Ἀκροστιχίς·**

**" Χριστοφόρε, δίδαξόν με ὀρθοφρονεῖν. Χ. Μ."**

**ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

Χριστοῦ τὴν ἀλήθειαν ἀκλινῶς
λαοῖς ὁ κηρύξας,

Χριστοφόρε, τοῖς ἐν σκιᾷ
κειμένοις ζοφώδους ἀγνωσίας,
ἡμῖν Θεοῦ φῶς ἀνάτειλον γνώσεως.

Ῥυπώδους θελήματος τῆς σαρκὸς
ἡμᾶς ἀνωτέρους,
Χριστοφόρε θεοσεβές,
σῆς χάριτος τήρει τοὺς ἱκέτας,
ἱεροκῆρυξ σεπτὲ καὶ ἁπλούστατε.

Ἱκάνωσον πάντας σοὺς ὑμνητὰς
τηρεῖν ἀνοθεύτους
θείας πίστεως τὰς ἀρχὰς
τοὺς σπεύδοντας, πάτερ Χριστοφόρε,
θεοπειθέσιν εὐχαῖς σου πρὸς Κύριον.

**Θεοτοκίον.**

Στηρίζουσα πίστεως ἐν ἀρχαῖς
μὴ παύσῃ, Παρθένε,
ἀνυμνοῦντάς σε ἐν χορῷ
ἀσάλευτον ὥσπερ βακτηρίαν
ἡμῶν ἐν βίου ὁδοῖς, πανευλόγητε.

**Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

Τῶν Ἁρμπούνων τὸν γόνον
πανευλαβῶς μέλποντες
Παπουλᾶκον νῦν Χριστοφόρον
πίστει κραυγάσωμεν·
Θεοειδὲς ἀσκητά,
ὁ πλάνης ἱεροκῆρυξ,
σκέπε καὶ ἁγίαζε
τοὺς ἀνυμνοῦντάς σε.

Οὐρανόφωτε πάτερ,
ἡμᾶς ἀεὶ φώτιζε
ταῖς μαρμαρυγαῖς διδαχῶν σου
καὶ ἀμαρύγμασι
νουθεσιῶν σου σεπτῶν,
ἱεροκῆρυξ παμμάκαρ,

Χριστοφόρε Ὅσιε,

χάριτος σκήνωμα.

**Φ**ωτιστά, Χριστοφόρε,
θεολαμπὲς Ὅσιε,
Πελοποννησίων, σκοτίαν
πάντων ἐσκέδασας·
διὸ καὶ χάριν πολλὴν
ἡμῶν παθῶν ἀπελαύνειν
ζόφωσιν ἀπείληφας
τῶν προστρεχόντων σοι.

**Θεοτοκίον.**

**Ο**ὐρανῶν κληρονόμους
σκηνῶν πιστούς, Δέσποινα,
δεῖξον τοὺς ὑμνοῦντας τὸ πλῆθος
τῶν μεγαλείων σου,
Θεογεννῆτορ σεμνή,
καὶ Χριστοφόρου τιμῶντας
μνήμην τὴν ὑπέρτιμον
καὶ ἀεισέβαστον.

**Ὑ**πόδειξον
οὐρανοδρόμον πορείαν τοῖς σὲ τιμῶσι,
Χριστοφόρε, πρὸς οὐρανοὺς ὁ τείνας τὰ ὄμματα
ψυχῆς σου ἁγνῆς καὶ χριστοφιλήτου.

**Ἐ**πίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις καὶ τὸ Κάθισμα.**
**Ἦχος β΄. Πρεσβεία θερμή.**

**Μ**ὴ παύσῃ Χριστοῦ δεόμενος ἀείποτε
ὑπὲρ τῶν πιστῶς τιμώντων τοὺς ἀγῶνάς σου,
Χριστοφόρε Ὅσιε,
τῶν πλανήτων κηρύκων ἀκρώρεια,
Πελοποννήσου δήμους ἀστραπαῖς
ἁπλῶν καταυγάσας διδαγμάτων σου.

**Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.**

Ῥῦσαι πάντας ἱκέτας σου
ἀγνωσίας, κῆρυξ πνευματοφόρητε,
Χριστοφόρε, θείας γνώσεως
ὁ ἀνάπτων πῦρ πυρφόροις λόγοις σου.

Εὐσεβείας ὑπόδειξον
δρόμον, Χριστοφόρε, τοῖς ἀνυμνοῦσί σε
Ἀποστόλων ὡς ὁμότροπον
καὶ Χριστοκηρύκων νέον καύχημα.

Διαφύλαττε ἅπαντας
ἀσινεῖς τοὺς σπεύδοντας τῇ σῇ χάριτι
βελεμνῶν τοῦ πολεμήτορος,
Χριστοφόρε, πίστεως ἑδραίωμα.

**Θεοτοκίον.**

Ἰσχυροὺς τοὺς οἰκέτας σου
δεῖξον ἐν ταῖς μάχαις κατὰ τοῦ ὄφεως,
οὗ τὴν κεφαλὴν συνέτριψας
διὰ τοῦ Υἱοῦ σου, Μητροπάρθενε.

**ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.**

Δύναμιν λαβὼν
οὐρανόθεν τὴν ἀσθένειαν
κατεπάτησας σοῦ γήρως θαυμαστῶς,
Χριστοφόρε, πρεσβευτὰ ἡμῶν ἀνύστακτε.

Ἅγνισον τὸν νοῦν,
Χριστοφόρε, τῶν τιμώντων σε,
ὁ τηρήσας ἀσφαλῶς ἐν φυλακῇ
τὴν πεντάδα τῶν αἰσθήσεών σου, Ὅσιε.

Ξύλου τῆς ζωῆς
ἀπολαύεις νῦν ἐν δώμασι,
Χριστοφόρε, οὐρανῶν ὡς ἱερὸς
ὁμολογητὴς Χριστοῦ τῆς θείας πίστεως.

**Θεοτοκίον.**

Ὅλῃ σε ψυχῇ

καὶ καρδίᾳ μεγαλύνομεν,
Θεοτόκε, τὴν ἡμῶν καταφυγὴν
ἐν ἀνάγκαις καὶ παντοίαις περιστάσεσι.

**Ὠδὴ στ´. Τὴν δέησιν.**

Νεόφωτον, Χριστοφόρε, πύρσευμα
τῆς Ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας,
Πελοποννήσου λαὸν ὁ φωτίσας
καὶ τοῦ Αἰγαίου τῶν νήσων, διάλυσον
τὴν σκοτομήνην τῶν παθῶν
ἱκετῶν σου καὶ πόνων καὶ θλίψεων.

Μνημόνευε τῶν μνημονευόντων σου,
Χριστοφόρε Παπουλᾶκε, καὶ πᾶσι
δίδου τὴν σὴν εὐλογίαν καὶ χάριν
τοῖς μεγαλύνουσι περιοδίας σου
κηρυκτικὰς πρὸς τοῦ Θεοῦ
ἐντολῶν ψυχοτρόφων διάδοσιν.

Ἐπάκουσον τῶν μακαριζόντων σε,
Χριστοφόρε, ὡς φωστῆρα ἐν σκότει,
τὸν διαλύσαντα τῆς ἀγνωσίας
καὶ ἀνομίας τὴν ζόφωσιν, Ὅσιε,
καὶ ἀνατείλαντα λαῷ
ἐπιγνώσεως ἦμαρ χρυσέρυθρον.

**Θεοτοκίον.**

Ὁδήγησον πρὸς λιμένα εὔδιον
καὶ ἀχείμαστον, Κυρία Παρθένε,
οἰακοστρόφε ψυχῶν τῶν σῶν δούλων
ἀπλανεστάτη, πανύμνητε Δέσποινα,
τοὺς ποντουμένους ἀλγεινῶς
βιοτῆς τῆς προσκαίρου ἐν κλύδωσι.

Ὑπόδειξον
οὐρανοδρόμον πορείαν τοῖς σὲ τιμῶσι,

Χριστοφόρε, πρὸς οὐρανοὺς ὁ τείνας τὰ ὄμματα
ψυχῆς σου ἁγνῆς καὶ χριστοφιλήτου.

Ἄχραντε,

ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

**Δ**ιὰ τὴν πίστιν ἡμῶν τὴν Ὀρθόδοξον
εἱρκτὴν ἐν Ῥίῳ δεινὴν ὑπομείναντα
καὶ ἐξορίαν εἰς Θήραν τιμήσωμεν
καὶ Ἄνδρον νῦν Χριστοφόρον αἰτούμενοι
αὐτοῦ λιτὰς πρὸς τὸν εὔσπλαγχνον Κύριον.

**Προκείμενον. Ἦχος δ΄.**
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.
**Στίχος.** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

**Εὐαγγέλιον· κατὰ Λουκᾶν (Κεφ. στ΄ 17 - 33 ).**
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ....

**Δόξα.** Ταῖς τοῦ Σοῦ Ὁσίου πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ελεῆμον,...

**Ἰδιόμελον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**
**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

**Χ**ριστοφόρε Ὅσιε,
βλαστὲ τερπνὲ Καλαβρύτων,
πάτερ ἰσαπόστολε,
ὁ ἐν χρόνοις γήρως σου
μιμησάμενος
Παῦλον Ἀπόστολον
καὶ τῆς Αἰτωλίας
τὸν πυρσόν, Κοσμᾶν τὸν πάμφωτον,
καὶ Πελοπόννησον
πᾶσαν καταυγάσας πυρσεύμασι
τῶν ἁπλουστάτων λόγων σου,
σκέδασον ἡμῶν τὴν σκοτόμαιναν
βιοτῆς ἐκνόμου,
παθῶν χαμαιζηλίας, ἀσκητά,
καὶ ἀγνωσίας, θεόπνευστε,
πόθῳ δυσωποῦμέν σε.

Σῶσον, ὁ Θεὸς, τὸν λαόν Σου...

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Ῥαντισμῷ πρεσβειῶν σου,
Χριστοφόρε, πρὸς Κτίστην
τὸν πανευΐλατον
ἁγίαζε τὰ ἔργα
καὶ βίον σῶν προσφύγων,
χριστοκῆρυξ ἁπλούστατε,
Πελοποννήσου λαοῦ
ὁ φωτιστὴς ὁ νέος.

Θεϊκῶν ἐνταλμάτων
τὸν διδάσκαλον πάντες
ἀνευφημήσωμεν,
θεόπνουν Χριστοφόρον,
καὶ ἐκ ψυχῆς μυχίων
τούτῳ εἴπωμεν· Ὅσιε,
δεῖξον ἡμῖν τὴν στενὴν
ὁδὸν τῆς σωτηρίας.

Ὁσιότητος κέρας,
μόνην ἔχων οὐσίαν
σὸν εὐτελέστατον
τριβώνιον καὶ ῥάβδον
στηρίξεως καὶ πῆραν,
Χριστοφόρε, ἐκήρυττες
Χριστόν, Σωτῆρα ἡμῶν
καὶ ῥύστην ἐκ θανάτου.

**Θεοτοκίον.**

Φώτισόν μου τὰ σκότη,
Θεοτόκε Παρθένε,
λαμπὰς ἀείφωτε
ἡμῶν ἐπιστασίας
καὶ ἀρωγῆς ἑτοίμης
καὶ θερμῆς ἀντιλήψεως,
ἀναβοῶ σοι, ἁγνὴ
τοῦ Φωτοδότου Μῆτερ.

**Ὠδὴ η΄. Τὸν Βασιλέα.**

Ῥεόντων πάντων
δεῖξον ἡμᾶς ὑπερόπτας,
Χριστοφόρε, τοὺς σὲ ἀνυμνοῦντας,
Παπουλᾶκε μάκαρ,
ὡς ζηλωτὴν ἀῤῥεύστων.

Οἱ ἐν τῇ Ἄνδρῳ
καὶ Θήρᾳ νῦν εὐσεβοῦντες,
Χριστοφόρε, ὑμνοῦντες σοὺς θείους
πόνους ἐξορίας
ἐκδέχονται σὴν χάριν.

Νέκρωσον πάθη
ἡμῶν σαρκός, Χριστοφόρε,
ἑαυτὸν ὁ νεκρώσας τῷ κόσμῳ
καὶ ζηλώσας δόξαν
δωμάτων οὐρανίων.

**Θεοτοκίον.**

Εὐκλείας θείας
ἡμᾶς μετόχους, Παρθένε,
δεῖξον πάντας τοὺ σὲ ἀνυμνοῦντας,
Κεχαριτωμένη,
Κυρία Θεοτόκε.

**Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.**

Ἰδεῖν ἀξίωσόν με
τὴν μορφὴν Κυρίου,
Οὗ ἀπολαύεις τῆς θείας λαμπρότητος,
θεοειδὲς Χριστοφόρε, τοῦ πόλου ἔνοικε.

Νικῆσαι τὸν Βελίαρ
καταξίωσόν με,

ὡς νικητὴν τὸν ὑμνοῦντά σε ὄφεως
τοῦ πονηροῦ, Χριστοφόρε πνευματοκίνητε.

Χαρᾶς ἡμῶν καρδίας
πλῆσον, Χριστοφόρε,
τῶν ἀλγεινῶς θλιβομένων, θεόπνευστε
ἱεροκῆρυξ, δογμάτων ὀρθῶν ὑπέρμαχε.

**Θεοτοκίον.**

**Μ**ετὰ τοῦ Χριστοφόρου,
τῆς Ὀρθοδοξίας
προμάχου νέου, σὸν Τόκον ἱκέτευε
ὑπὲρ τῶν πίστει, Παρθένε, μακαριζόντων σε.

**Ἄξιόν ἐστι....καὶ τὰ παρόντα Μεγαλυνάρια.**

**Χ**αίροις, ὁ φωτίσας τοὺς ἐν σκιᾷ
ἀγνωσίας ὄντας,
Χριστοφόρε, πάτερ ἡμῶν,
ἐν Πελοποννήσῳ
καὶ νήσοις τῶν Κυκλάδων,
πεπαῤῥησιασμένων
λόγων ἀκτῖσί σου.

**Χ**αίροις, τῶν Ἀρμπούνων νεοθαλὲς
βλάστημα καὶ Μάνης
πάσης λύχνε νεοφεγγές,
χαίροις, Χριστοφόρε,
τοὐπίκλην Παπουλᾶκε,
λαοῦ ἐζοφωμένου
σέλας ἀείφωτον.

**Χ**αίροις, Ἀχαΐας ὁ φωτιστής,
Μάνης τε Ἀσίνης,
Λακεδαίμονος, Καλαμῶν
καὶ Πελοποννήσου
ἁπάσης, Χριστοφόρε,
Χριστοῦ τῆς Ἐκκλησίας
ἄστρον νεόφωτον.

**Ἐ**ν εἰρήνῃ, Ὅσιε ἀσκητά,
μάκαρ Χριστοφόρε,
ἐτελεύτησας καὶ Μονὴν
Παναχράντου Ἄνδρου
ἡγίασας σῷ τάφῳ,
Ἀρμπούνων μέγα κλέος,
ὦ ἰσαπόστολε.

**Χ**ριστοφόρε, πρέσβευε ἐκτενῶς
σὺν Διονυσίῳ,

τῆς Σκιάθου τέκνῳ σεπτῷ,
τῷ Χριστῷ ἰσχῦσαι
ἡμᾶς ὁμολογῆσαι
λαμπρῶς Χριστοῦ τὴν κλῆσιν
τὴν πανσεβάσμιον.

Χαίροις, ὁ ἐν Θήρᾳ ἐξορισθεὶς
καὶ καθαγιάσας
τῶν δακρύων σου ἐκροαῖς
Ἠλιοὺ Προφήτου
τὴν Μάνδραν, Χριστοφόρε,
χριστοκηρύκων νέων
ἔμπνουν θησαύρισμα.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον·**
**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Τὸν θεόσδοτον πλάνητα χριστοκήρυκα,
διδασκαλίαις πανσόφοις
τὴν ἀγνωσίαν λαοῦ
διαλύσαντα καὶ γνῶσιν πρὸς σωτήριον
καθοδηγήσαντα πολλοὺς
εὐφημήσωμεν λαμπρῶς,
θεόπνευστον Χριστοφόρον,
βοῶντες· Ὅσιε πάτερ,
ἡμῖν ἱλέωσαι τὸν Ὕψιστον.

**Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·**

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.**

Δεῦτε Χριστοφόρον τὸν σεπτόν,
κήρυκα δεινὸν εὐσεβείας
μελισταγέσιν ᾠδαῖς
μέλψωμεν ὡς πάμφωτον
ἀστέρα πίστεως
ἄρτι ἐξανατείλαντα

ἐν Πελοποννήσῳ
καὶ καταφωτίσαντα
πιστῶν τὸν σύλλογον
κράζοντες· Πανόσιε πάτερ,
σκέδασον ἡμῶν ἀγνωσίας
ζόφον ἀστραπαῖς λιτῶν ἐνθέρμων σου.

**Δ**έσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

**Τ**ὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Δίστιχον.**

**Νεκτάριον ἀεὶ φρούρει, Χριστοφόρε,**
**σὺν Χαραλάμπει, ἱκέτῃ χάριτός σου.**

**ΤΕΛΟΣ**

**ΚΑΙ ΔΟΞΑ**

**ΤΩ ΜΟΝΩ ΑΛΗΘΙΝΩ**

**ΘΕΩ ΗΜΩΝ**

**Ἀριθμ. Καταλ. Π. 442 / 1-8-09**

***Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)***

***Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)***

**************************************************
******************

**Δρος Χαραλάμπους Μ. Μπούσια**
**Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας**

# ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ

ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

## Χ Ρ Ι Σ Τ Ο Φ Ο  Ρ Ο Ν

## ΤΟΝ ΠΑΠΟΥΛΑΚΟΝ

*

*

*  *  *  *  *

*

*

Ἀθῆναι  2009

ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ

ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

Χ Ρ Ι Σ Τ Ο Φ Ο  Ρ Ο Ν

ΤΟΝ ΠΑΠΟΥΛΑΚΟΝ

Ποίημα Δρος  Χαραλάμπους  Μ.  Μπούσια

***************************************

************************

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

**Τ**ὸν ἀγαθόν, ἁπλοῦν, ἀκτήμονα, ἀνάργυρον
καὶ ἀμαθῆ ἱεροκήρυκα τιμήσωμεν,
Χριστοφόρον, Παπουλᾶκον τὸν κεκλημένον,
ὡς ἠθῶν τῶν Ὀρθοδόξων ὑφηγήτορα
ἐξορίαν καὶ εἱρκτὴν καθυπομείναντα
πόθῳ κράζοντες· Χαίροις, Πάτερ θεόληπτε.

**Οἱ Οἶκοι.**

**Ἄ**γγελοι διδαχάς σου
ἀπεθαύμασαν ἄρτι,
θεόφρον μοναχέ, Χριστοφόρε, **(ἐκ γ´ )**
ὁ θεόπνους καὶ λαοφιλής,
εὐσεβῶν καρδίας ὁ δονῶν λόγοις σου
καὶ βίου παραδείγματι
ἀμέμπτου σου· διὸ βοῶμεν·

Χαῖρε, ὁ γόνος τῶν Καλαβρύτων·
χαῖρε, τὸ κλέος χριστοκηρύκων.

Χαῖρε, Ὀρθοδόξων ἠθῶν ὁ διδάσκαλος·
χαῖρε, κακοφρόνων καὶ πλάνων ὁ ἔλεγχος.

Χαῖρε, στῦλος καὶ ἑδραίωμα Ἐκκλησίας τοῦ Χριστοῦ·
χαῖρε, εὖχος καὶ κραταίωμα εὐσεβόφρονος λαοῦ.

Χαῖρε, ὁ διαπνέων Θείου Πνεύματος αὔραν·
χαῖρε, ὁ διαχέων χάριν τὴν οὐρανίαν.

Χαῖρε, Θεῷ ὁ ἄγαν εὐάρεστος·
χαῖρε, λαῷ πιστῷ ὁ παμφίλτατος.

Χαῖρε, πιστῶν διεγείρων καρδίας·
χαῖρε, εἰκὼν καθαρὰ εὐσεβείας·

Χαίροις, Πάτερ θεόληπτε.

**Β**λάστημα τῶν Ἀρμπούνων
εὐθαλὲς καὶ ὡραῖον,
ἐξήνεγκας καρπὸν ἀφθαρσίας
διὰ θείων Χριστοῦ ἐντολῶν
ἐν Πελοποννήσῳ πάσῃ κηρύξεως
καὶ σῆς σεπτῆς καθείρξεως
ἐν Ῥίῳ, ἔνθα ᾖδες χαίρων·

Ἀλληλούϊα.

Γῆθεν πρὸς τὰς ἐπάλξεις,
Χριστοφόρε, ἐπήρθης
τοῦ πόλου Ἀποστόλοις συγχαίρειν,
ὧν ἐδείχθης θερμὸς ζηλωτὴς
ἐν ἐσχάτοις χρόνοις, ἀσκητὰ Ὅσιε·
διό σε μακαρίζοντες
κραυγάζομεν φωναῖς αἰσίαις·

Χαῖρε, ἐκτύπωμα εὐσεβείας·
χαῖρε, ὡράϊσμα Ἐκκλησίας.

Χαῖρε, Καλαβρύτων δρυμώνων ὁ ἔνοικος·
χαῖρε, στεῤῥοψύχων ἀγώνων ὁ πρόβολος.

Χαῖρε, ἄνερ τιμιώτατε, παραδόσεως κρηπίς·
χαῖρε, πάτερ ὁσιώτατε, σκεῦος πάσης ἀρετῆς.

Χαῖρε, ὁ ἀνατείνας σοῦ τὰς κόρας πρὸς Κτίστην·
χαῖρε, ὁ διαλύσας τοῦ λαοῦ σκοτομήνην.

Χαῖρε, Χριστοῦ τῆς πίστεως σέμνωμα·
χαῖρε, ἐχθροῦ δολίου τὸ σύντριμμα.

Χαῖρε, δεινῶν Βαυαρῶν καταπέλτης·
χαῖρε, καινῶν διδαχῶν ὑπερόπτης.

Χαίροις, Πάτερ θεόληπτε.

Δύναμιν οὐρανόθεν
θαυμαστῶς δεδεγμένος
ἐν γήρῳ σου, σεπτὲ Χριστοφόρε,
ἐγκατέλιπες κώμην τὴν σήν,
τὴν ἐν Καλαβρύτων χλοεροῖς ἄλσεσι
καὶ Σπήλαιον κατέλαβες
τὸ Μέγα, ἔνθα ᾖδες πόθῳ·

Ἀλληλούϊα.

Ἔχων μόνην οὐσίαν,
Χριστοφόρε, σὸν μέλαν
ἀσκήσεως τριβώνιον, πῆραν
σὴν μικρὰν καὶ πρὸς σώματος σοῦ
γηραλέου ῥάβδον ἐπιστηρίξεως
λαοὺς φωτίσαι ἔδραμες,
τοὺς ψάλλοντας ἐν κατανύξει·

Χαῖρε, ἡ σάλπιγξ τῆς ἀληθείας·

χαῖρε, ἡ σύριγξ τῆς ἀκτησίας.

Χαῖρε, Ὀρθοδόξων δογμάτων διδάσκαλος·
χαῖρε, τῶν Ὁσίων πατέρων ὁμόζηλος.

Χαῖρε, ὅτι κατηδάφισας θράσος νεωτεριστῶν·
χαῖρε, ὅτι κατηγλάϊσας τὰς χορείας τῶν πιστῶν.

Χαῖρε, ὁ ὑφηγήτωρ τῶν ἠθῶν τῶν πατρῴων·
χαῖρε, ὁ παρακλήτωρ ἐν δεινοῖς τρυχομένων.

Χαῖρε, λαοῦ ὁ λύσας τὴν ζόφωσιν·
χαῖρε, Θεοῦ  ὁ δείξας τὴ δύναμιν.

Χαῖρε, Χριστοῦ ἀληθείας ὁ τέττιξ·
χαῖρε, Αὐτοῦ ἀγαθότητος κῆρυξ.

Χαίροις, Πάτερ θεόληπτε.

Ζέοντα ζῆλον πᾶσι,
Χριστοφόρε, δεικνύων
τηρήσεως Θεοῦ ἐνταλμάτων
κατεδίκασας ζωοκλοπήν,
ψευδορκίαν, μῖσος, ἀρετῆς ἔνδειαν,
μοιχείαν καὶ ἀσέλγειαν
καὶ ἔπιθες πιστοὺς κραυγάζειν·

Ἀλληλούϊα.

Ἤσχυνας διδαχαῖς σου
ἁπλουστάτοις, τρισμάκαρ,
δοκοῦντας τοῦ λαοῦ τῶν Ἑλλήνων
ἄρχειν τοῦ εὐσεβοῦς, ἀσκητά,
Χριστοφόρε πάτερ, καὶ χρηστὰ θέλοντας
ἀλλάξαι ἤθη· ὅθεν σε
τιμῶντες εὐλαβῶς βοῶμεν·

Χαῖρε, τὸ στόμα τῆς ἀληθείας·
χαῖρε, τὸ στῖγμα τῆς μετανοίας.

Χαῖρε, ὁ θεότευκτος ἄμβων χρηστότητος·
χαῖρε, ὁ νεόφωτος λύχνος τῆς χάριτος.

Χαῖρε, ὅτι Πελοπόννησον περιώδευσας καλῶς·
χαῖρε,  ὅτι τὸν Θεάνθρωπον διεκήρυξας τρανῶς.

Χαῖρε, σαῖς νουθεσίαις ὁ λαὸν κατευφράνας·
χαῖρε, ὁδοιπορίαις σαῖς Χριστὸν μεγαλύνας.

Χαῖρε, λαμπὰς κηρύγματος πάμφωτος·
χαῖρε, ψεκὰς χρηστότητος ἔνδροσος.

Χαῖρε, εἰκὼν εὐσεβείας κηρύκων·
χαῖρε, λειμὼν ἀρετῶν ψυχοτρόφων·

Χαίροις, Πάτερ θεόληπτε.

**Θ**έλων λαοὺς φωτίσαι
τοὺς ἐν σκότει κειμένους
ἀρτίως ἀγνωσίας, τρισμάκαρ
Χριστοφόρε, ἐξῆλθες ἑκὼν
καὶ περιοδεύων νῆσον τοῦ Πέλοπος
τῆς ἀγνωσίας ζόφωσιν
διέλυσας ἀπαύστως ψάλλων·

Ἀλληλούϊα.

**Ἴ**θυνας βήματά σου
πρὸς Ὑψοῦντα, Ἀσίνην,
Καλάμας, Λακωνίαν καὶ Μάνην,
Χριστοφόρε, κηρύττων τρανῶς
τὴν πατρῴαν πίστιν καὶ λαοῦ σύστημα
ἐγείρων πρὸς μετάνοιαν,
τὸ κράζον σοι ἐν εὐλαβείᾳ·

Χαῖρε, ἡ ἆρσις τῆς ἁμαρτίας·
χαῖρε, ἡ φαῦσις τῆς μετανοίας.

Χαῖρε, Αἰτωλοῦ εὖ Κοσμᾶ ἰσοστάσιος·
χαῖρε, τοῦ Χριστοῦ ἀγαθότητος ἔμπλεως.

Χαῖρε, ὅτι ἐστηλίτευσας πλάνους νεωτεριστάς·
χαῖρε, ὅτι ἐφανέρωσας Ὀρθοδόξους διδαχάς.

Χαῖρε, ὑπερμαχήσας τῶν ἠθῶν τῶν πατρῴων·
χαῖρε, πᾶσι κηρύξας τὸν σωτήριον νόμον.

Χαῖρε, πυξὶς Χριστοῦ ἀγαπήσεως·
χαῖρε, σφραγὶς ψυχῆς ἐλεήμονος.

Χαῖρε, σεπτὸς Παραδείσου οἰκήτωρ·
χαῖρε, θερμὸς εὐσεβούντων συλλήπτωρ·

Χαίροις, Πάτερ θεόληπτε.

**Κ**ύριον, Χριστοφόρε,

ἔσχες συνοδοιπόρον
ἐν σαῖς πολυχρονίοις πορείαις
πρὸς λαοῦ φωτισμόν, ἀσκητά,
τῆς Πελοποννήσου παμφαὲς πύρσευμα,
Ὧ ἀσιγήτως ἔψαλλες
ἐκ μέσης σου καρδίας πόθῳ·

Ἀλληλούϊα.

**Λ**αίλαπος καινοτόμων,
Χριστοφόρε θεόφρον,
ἐπώφθης ὀλετὴρ ἐν τοῖς χρόνοις
τοῖς ἐσχάτοις καὶ νουθεσιῶν
φληναφίας τούτων καὶ σαπρὰ ῥήματα
μαχαίρα σου συνέκοψας·
διό σοι ἐκβοῶμεν πίστει·

Χαῖρε, δογμάτων ὀρθῶν ὁ στῦλος·
χαῖρε, ῥημάτων ἀρίστων ἕρκος.

Χαῖρε, Φλαμιάτου Κοσμᾶ ὁ ὁμότροπος·
χαῖρε, Ἰγνατίου στεῤῥόφρονος σύμψυχος.

Χαῖρε, ὅτι ἠκολούθησας Κολλυβάδων ταῖς ὁδοῖς·
χαῖρε, ὅτι ῥόδα ἤνθησας πανευώδη ἀρετῆς.

Χαῖρε, ὁ τοὺς κρατοῦντας ὁλοψύχως ἐλέγξας·
χαῖρε, ὁ τοὺς νοσοῦντας ψυχικῶς θεραπεύσας.

Χαῖρε, ἀστὴρ νεόφωτος πίστεως·
χαῖρε, λαμπτὴρ ἀγάπης τῆς κρείττονος.

Χαῖρε, σκηπτὸς ὁ δριμὺς καινοτόμων·
χαῖρε, λαμπρὸς μιμητὴς Ἀποστόλων·

Χαίροις, Πάτερ θεόληπτε.

**Μ**ένων ἐν τῇ ἀγάπῃ
τοῦ Κυρίου ἑδραῖος
ὑπέμεινας διώξεις κρατούντων
καὶ ἐν Ῥίου ὑγρᾷ φυλακῇ
ἐνεκλείσθης, πάτερ, τοῦ Θεοῦ ἄνθρωπε,
ἀγύρτου φέρων στίγματα,
ὁ πίστει ἀκλινεῖ κραυγάζων·

Ἀλληλούϊα.

**Ν**έκταρ Ὀρθοδοξίας
ἐκ τῆς φιλορθοδόξου
ἐτρύγησας, σεπτέ, Ἑταιρείας
ἑδρευούσης ἐν πόλει Πατρῶν,
Χριστοφόρε, σκεῦος ἐκλεκτὸν χάριτος,
ἧς μέλος ἐχρημάτισας·
διό σοι ἐν χαρᾷ βοῶμεν·

Χαῖρε, διδάσκαλος εὐσεβείας·
χαῖρε, συμμέτοχος δόξης θείας.

Χαῖρε, ὑφηγῆτορ ἠθῶν τῆς χρηστότητος·
χαῖρε, ἀντιλῆπτορ πιστῶν ὁμηγύρεως.

Χαῖρε, στόμα εὐωδέστατον καθηδῦνον ἀκοάς·
χαῖρε, πόμα τὸ ἡδύγευστον κατευφραῖνον τὰς ψυχάς.

Χαῖρε, κλῆμα τὸ μεῖναν θείῳ ἐν ἀμπελῶνι·
χαῖρε, στῖγμα σοφίας, εἰς αἰῶνας ὃ μένει.

Χαῖρε, ἀγῶνος θείου κειμήλιον·
χαῖρε, λειμῶνος πόλου κιννάμωμον.

Χαῖρε, εὐσέβειαν ὁ μεγαλύνας·
χαῖρε, ἀσέβειαν ὁ στιγματίσας·

Χαίροις, Πάτερ θεόληπτε.

**Ξ**ύλου ἐπαπολαύεις
τῆς ζωῆς, Χριστοφόρε,
ἐν κήπῳ οὐρανῶν πανευώδει
Ὀρθοδόξων ἠθῶν ὡς κανὼν
καὶ χριστοκηρύκων ἱερὸν πρότυπον·
διό σε μακαρίζοντες
βοῶμεν τῷ δοξάσαντί σε·

Ἀλληλούϊα.

**Ὄ**λβιε Χριστοφόρε,
ἐρεθίζων κρατοῦντας
ἀγῶνός σου ὡραίου τοῖς λόγοις
ἐδιώχθης καὶ εἰς Ἠλιοὺ
τοῦ Προφήτου Θήρας τὴν Μονήν, Ὅσιε,
ὑπερορίσθης· ὅθεν σε
τιμῶντες ἐν χαρᾷ βοῶμεν·

Χαῖρε, ὁ ἔλεγχος κακοφρόνων·
χαῖρε, τὸ στέλεχος Ὀρθοδόξων.

Χαῖρε, Καλαβρύτων βλαστὸς ὁ θειότατος·
χαῖρε, Χριστωνύμων ὁ θεῖος διδάσκαλος.

Χαῖρε, στέφος ὅτι εἴληφας θείων ὁμολογητῶν·
χαῖρε, κλέος ὅτι πέφηνας τῶν ἐν σκότει φωτιστῶν.

Χαῖρε, τῶν Κολλυβάδων ζηλωτὴς τῶν ἀγώνων·
χαῖρε, τῶν Ἀποστόλων ὁ βαδίσας τὸν δρόμον.

Χαῖρε, οἰκῆτορ Θήρας θεόσδοτος·
χαῖρε, κοσμῆτορ Ἄνδρου θειότατος.

Χαῖρε, εἱρκτὴν ταπεινῶς ὑπομείνας·
χαῖρε, πηγὴν εὐσεβείας ὁ βλύσας.

Χαίροις, Πάτερ θεόληπτε.

**Π**άτερ, κατηξιώθης
συνεξόριστον ἔχειν
ἐν Θήρᾳ Διονύσιον πάνυ,
τῆς Σκιάθου βλαστὸν τὸν σεπτὸν
καὶ τῶν σῶν ἀγώνων ζηλωτὴν ἄριστον,

μεθ’ οὗ Χριστὸν ἐδόξαζες
καὶ ᾖδες, Χριστοφόρε, πίστει·

Ἀλληλούϊα.

**Ῥ**εύμασι σῶν δακρύων
κατεπίανας κέλλην
Προφήτου Ἠλιοὺ τοῦ Σεμνείου
ἐν τῇ Θήρᾳ, ἐν ᾗ ἀπηνῶς
ἐνεκλείσθης, μάκαρ, πνεῦμα ἐλεύθερον,
καὶ τῶν Θηραίων ηὔφρανας
σοῖς λόγοις τοὺς χοροὺς βοῶντας·

Χαῖρε, τὸ ῥεῖθρον Ὀρθοδοξίας·
χαῖρε, τὸ ῥόδον τῆς εὐσεβείας.

Χαῖρε, Ἠλιοὺ τοῦ Προφήτου ἑπόμενος·
χαῖρε, οὐρανοῦ τῆς λαμπρότητος μέτοχος.

Χαῖρε, ὅτι ἀναδέδειξαι ἀκρεμὼν ὑπομονῆς·
χαῖρε, ὅτι ἄρτι πέφηνας ἐργαστήριον εὐχῆς.

Χαῖρε, ὁ τοῦ Προδρόμου ζηλωτὴς τοῦ ἐλέγχου·
χαῖρε, ὁ τοῦ ἐχθίστου καταπέλτης τοῦ πλάνου.

Χαῖρε, στεῤῥῶν ἀγώνων ἐκπύρσευμα.
χαῖρε, σεπτῶν πατέρων ὡράϊσμα.

Χαῖρε, σπορεὺς Ὀρθοδόξων δογμάτων·
χαῖρε, κναφεὺς πάντων ῥύπον λευκαίνων.

Χαίροις, Πάτερ θεόληπτε.

**Σ**τῦλος Ὀρθοδοξίας
ἐν σῇ προβεβηκυίᾳ
ἐπώφθης ἡλικία, στεῤῥόφρον
Χριστοφόρε, δογμάτων ὀρθῶν
ὁ ἐγείρας ἄρτι τιμαλφὲς τρόπαιον
καὶ πάντων τῶν τιμώντων σε
ἀνοίξας χείλη τῷ Θεῷ κραυγάζειν·

Ἀλληλούϊα.

**Τ**ρέχων τὸν σὸν ἀγῶνα
ὥσπερ ἔφηβος, πάτερ,
ἐν γήρῳ σου βαθεῖ, Χριστοφόρε,
τὸν προκείμενον ὅλης ψυχῆς
σῇ ἐφέσει ἄρτι ἀθλητῶν ἔκτυπον
ἐν σκάμματι τῆς πίστεως
ἐπώφθης· ὅθεν σοι βοῶμεν·

Χαῖρε, δρομεὺς ἱερὸς σταδίου·
χαῖρε, πυρσεὺς τοῦ φωτὸς τοῦ πόλου.

Χαῖρε, ὁ διδάξας πατρῴαν παράδοσιν·
χαῖρε, ὁ ποθήσας Ἀγγέλων συνοίκησιν.

Χαῖρε, ὅτι ἠκολούθησας ἀληθείας τῇ ὁδῷ·
χαῖρε, ὅτι εὐηρέστησας σῷ κηρύγματι Θεῷ.

Χαῖρε, τῶν ἐν σκοτίᾳ ὁ λαμπτὴρ ὁ πυρφόρος·
χαῖρε, τῶν ἐν ἀγνοίᾳ φωτιστὴς λαμπροφόρος.

Χαῖρε, θαυμάτων ξένων ὁ πρόξενος·
χαῖρε, δογμάτων θείων διδάσκαλος.

Χαῖρε, ἀγώνων βαλβὶς θεαρέστων·
χαῖρε, καμάτων εἰκὼν νυχθημέρων·

Χαίροις, Πάτερ θεόληπτε.

**Ὕ**μνοις πιστῶν χορεῖαι,
Χριστοφόρε, σὴν μνήμην
καὶ ᾄσμασι φαιδροῖς, Παπουλᾶκε,
καταστέφομεν καὶ ἐν χορῷ
τοὺς ἄχρι θανάτου ἱεροὺς πόνους σου
τιμῶντες πόθῳ κράζομεν
καὶ πίστει τῷ δοξάσαντί σε·

Ἀλληλούϊα.

**Φ**αίνεις Ἄνδρῳ καὶ Θήρᾳ
σὺν τῇ Πελοποννήσῳ
ἀκτῖσιν ἁπλουστάτων σου λόγων
καὶ πυρσεύμασι νουθεσιῶν
σοῦ τῶν θεοπνεύστων, ἀσκητὰ τίμιε,
καὶ διαλύεις ζόφωσιν
λαοῦ πανευλαβῶς βοῶντος·

Χαῖρε, πενίαν Χριστοῦ φιλήσας·
χαῖρε, πτωχείαν Αὐτοῦ βιώσας.

Χαῖρε, Παναχράντου Μονῆς ὁ ἐξόριστος·
χαῖρε, τοῦ Ὑψίστου μορφῆς ὁ θεώμενος.

Χαῖρε, σάλπισμα σωτήριον ἐν Χριστῷ καινῆς ζωῆς·
χαῖρε, στήριγμα ἀσάλευτον Ὀρθοδόξου ἀγωγῆς.

Χαῖρε, ὁ καταυγάσας τῆς Ἑλλάδος τὰ πλάτη·
χαῖρε, ὁ ἀπελάσας τῶν κρατούντων τὰ σκότη.

Χαῖρε, ψυχῆς ἀνδρείαν δεικνύμενος·
χαῖρε, πολλῆς χρηστότητος ἔμπλεως·

Χαῖρε, Κυκλάδων τῶν νήσων οἰκῆτορ·
χαῖρε, ἁπάντων πιστῶν παρακλῆτορ·

Χαίροις, Πάτερ θεόληπτε.

**Χ**αῖρε, ὁ τοῦ Σπηλαίου
μοναστὴς τοῦ Μεγάλου,
Μονὴν τῇ Θεοτόκῳ ὁ κτίσας
ἐν Ἀρμπούνοις καὶ κῆρυξ λαμπρὸς
τῆς Πελοποννήσου ἐποφθείς, Ὅσιε,
κραυγάζοντες δοξάζομεν
Χριστὸν, Ὧ ἐν χαρᾷ φωνοῦμεν·

Ἀλληλούϊα.

**Ψ**άλλομέν σου τοὺς πόνους,
Χριστοφόρε, οὓς ἔτλης
ἀρτίως πρὸς δογμάτων πατρῴων
ἐπικράτησιν καὶ τὰ δεσμὰ
ἀσπαζόμενοί σου τὰ σεπτά, ἔνδοξε,
ἰσχύϊ θείᾳ ψάλλομεν
φωναῖς σοι ἐν αἰσίαις ταῦτα·

Χαῖρε, τὰ πλήθη ὁ διεγείρων·
χαῖρε, τὰ ἤθη ὑποστηρίζων.

Χαῖρε, καινοτόμων ἀρχόντων ὁ ἔλεγχος·
χαῖρε, τῶν πλανήτων κηρύκων ὁ πρόβολος.

Χαῖρε, ὅνπερ κατεδίωξαν ὡς ἀγύρτην τὸν σεπτόν·
χαῖρε, ὅνπερ κατεδίκασαν ὡς Ἑβραῖοι τὸν Χριστόν.

Χαῖρε, σύμμαχος ἔχων τὸν Θεὸν ἐν ἀγῶσι·
χαῖρε, ἔλεος νέμων δαψιλῶς ἐνδεέσι.

Χαῖρε, παγὶς δολίων καὶ σύντριμμα·
χαῖρε, πυξὶς λαοῦ πρὸς τὰ ἄφθαρτα.

Χαῖρε, ἐνέδρα βαυαροκρατίας·
χαῖρε, βραβεῖα λαβὼν εὐτολμίας.

Χαίροις, Πάτερ θεόληπτε.

**Ὦ** σεπτὲ Χριστοφόρε,
χριστοκῆρυξ γενναῖε,
Χριστοῦ τῆς θείας πίστεως εὖχος, **(ἐκ γ´ )**
ὁ διδάγμασι σοῦ τοῖς ἁπλοῖς
τὸν λαὸν φωτίσας, οἴμοι, καθεύδοντα
ἐν σκότει, ζόφον σκέδασον
παθῶν τῶν εὐλαβῶς βοώντων·

Ἀλληλούϊα.

**Καὶ αὖθις τὸ Κοντάκιον**
**Ἦχος πλ. δ´. Τῇ Ὑπερμάχῳ.**

**Τ**ὸν ἀγαθόν, ἁπλοῦν, ἀκτήμονα, ἀνάργυρον
καὶ ἀμαθῆ ἱεροκήρυκα τιμήσωμεν,
Χριστοφόρον, Παπουλᾶκον τὸν κεκλημένον,
ὡς ἠθῶν τῶν Ὀρθοδόξων ὑφηγήτορα
ἐξορίαν καὶ εἱρκτὴν καθυπομείναντα

πόθῳ κράζοντες· Χαίροις, Πάτερ θεόληπτε.

**Δίστιχον.**

**Χαῖρε, Χριστοφόρε, Καλαβρύτων γόνε,
σὺν Νεκταρίῳ ἔκραξε Χαραλάμπης.**

**Τ Ε Λ Ο Σ**

**Κ Α Ι Δ Ο Ξ Α**

**Τ Ω Μ Ο Ν Ω Α Λ Η Θ Ι Ν Ω**

**Θ Ε Ω Η Μ Ω Ν**

**Ἀρίθμ. Καταλ. Χ 132 / 1-8-09**

## Πρόλογος

Ὁ Ὅσιος Χριστοφόρος ὁ Παπουλάκος εἶναι ἕνας διαπρύσιος κήρυκας τῆς εὐαγγελικῆς ἀλήθειας, εἶναι ἕνας νέος Ἀπόστολος. Περιόδευσε τὴν Πελοπόννησο καὶ τὰ νησιὰ κηρύττοντας καὶ διωκόμενος, πάντοτε, ὅμως, μιμούμενος τὸ μεγάλο Ἀπόστολο τῶν ἐθνῶν, τὸν Παῦλο, τοῦ ὁποίου ὑπῆρξε ὁμόζηλος καὶ ὁμότροπος. Τὸν ἐνέπνεαν τὰ παθήματά του καὶ παρὰ τὸ προχωρημένο τῆς ἡλικίας του αἰσθανόταν ἱκανὸς νὰ τὸν μιμηθεῖ ἐπαναλαμβάνοντας «ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις· ὑπὸ Ἰουδαίων τεσσαράκοντα παρὰ μίαν ἔλαβον, τρὶς ἐῤῥαβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, νυχθημερὸν ἐν τῷ βυθῷ πεποίηκα· ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις» (Β΄ Κορ. ια΄ 23-26). Καὶ ὄχι μόνο διώχθηκε ὁ Ὅσιος Χριστοφόρος, ἀλλὰ καὶ δέχθηκε μὲ χαρὰ τὴν περιφρόνηση τῶν κρατούντων, οἱ ὁποῖοι καὶ αὐτοὺς τοὺς ὀπαδούς του σκωπτικὰ τοὺς ἀποκαλοῦσαν

«Παπουλακιστές». Χαρακτηριστὸ γνώρισμα τοῦ Ὁσίου Πατρὸς εἶναι ὅτι καὶ στὴν ἐξορία δὲν ὑπέστειλε τὴ σημαία τοῦ Ὀρθοδόξου ἀγῶνος, τοῦ ἀγῶνος γιὰ ἐπιστροφὴ στὴν ἱερὴ ἀσκητικὴ παράδοση τῆς Ἐκκλησίας μας, γιὰ τὴν ὁποία εἶχε προηγηθεῖ πρὶν μερικὲς δεκαετίες τὸ κίνημα τῶν Κολλυβάδων.

Προβάλλοντας σήμερα τὴν ὁσιακὴ μορφὴ τοῦ Παπουλάκου, προβάλλουμε τὴν Ὀρθοδοξία, προβάλλουμε τὸ ἡρωϊκὸ φρόνημα τῶν πιστῶν, ποὺ ζητοῦν μία ζωντανὴ καὶ ζῶσα Ἐκκλησία. Ἡ διάδοση τῆς μνήμης τοῦ Ὁσίου Χριστοφόρου μᾶς παρώτρυνε νὰ προβοῦμε στὴν ἔκδοση τοῦ Παρακλητικοῦ κανόνος καὶ τῶν Χαιρετιστηρίων Οἴκων, στὸν νεό αὐτὸ ἱεραπόστολο, ποιήματα τοῦ Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας καὶ φιλτάτου μας Καθηγητοῦ, Δρος Χαραλάμπους Μ. Μπούσια. Ἐπαινοῦντες αὐτὸν καὶ θερμῶς εὐχαριστοῦντες διὰ τὴν ὑμνογραφικήν του διακονίαν εἰς τὴν Ἐκκλησίαν μας παραδίδουμε τὸ πόνημα αὐτὸ στὴν ἀγάπη σας καὶ εὐχόμαστε ἡ χάρη τοῦ Ὁσίου Χριστοφόρου νὰ ξυπνήσει μέσα μας ἀγωνιστικὸ φρόνημα καὶ παλμὸ μαχητικὸ πρὸς δόξαν τοῦ σεπτοῦ Ὀνόματος τοῦ Χριστοῦ μας καὶ τιμὴν τῶν Ἁγίων Του, τῶν Ὁσίων καὶ Μαρτύρων τῆς πίστεώς μας.

Ἔγραφα στὶς 29 Αὐγούστου 2009
Ἑορτὴ τῆς Ἀποτομῆς τῆς Κεφαλῆς τοῦ Τιμίου Προδρόμου

Ὁ Πρόεδρος τοῦ Ἰνστιτούτου «Χριστοφόρος Παπουλάκος»

Ἀρχιμανδρίτης Νεκτάριος Πέττας

**Κοινὸν Ἀπολυτίκιον Ὁσίων,**
**Διονυσίου τοῦ ἐν Σκιάθῳ**
**καὶ Χριστοφόρου, τοῦ Παπουλάκου,**
**ἐν Θήρᾳ ὑπερορίᾳ ἐκλαμψάντων**

**Ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λόγον.**

Νεαυγῶν ξυνωρίδα Ὁσίων μέλψωμεν
ἐξορισθέντων εἰς Θήραν
διὰ στεῤῥὰν ἐμμονὴν
εἰς πατρῴας παραδόσεις καὶ εὐσέβειαν
νῦν Διονύσιον σεπτὸν,
τῆς Σκιάθου τὸν βλαστὸν
καὶ εὔτολμον Χριστοφόρον,
τὸν Παπουλᾶκον, πρεσβείας
αὐτῶν θερμὰς ἀπεκδεχόμενοι.

**Μεγαλυνάριον.**

Χαίροις, Διονύσιε θαυμαστέ,
ἀσκητῶν λογίων
ἡ νεόφωτος λαμπηδών,
χαίροις, Χριστοφόρε,
τοὐπίκλην Παπουλᾶκε,
δυὰς ὑπερορία
Θήραν φαιδρύνασαν.

**Δίστιχον.**

Χριστοφόρε καὶ Διονύσιε, Θήραν
συμφορῶν ῥύεσθε, βοᾷ Χαραλάμπης.

Ξυνωρὶς θεία Ὁσίων, Νικαλάου
ἁγιάζετε βίον, Χαραλάμπης ψάλλει.